*scriptam esse saec.* XII. *Flor.* II. *nro* 13. *haec habet*: Διάταξις αὕτη ὑπάρχει ἐφθαρμένη λίαν καὶ ἕνεκα τούτου . . . . . οὐκ ἔχει τὴν ὑπογραφὴν τοῦ ταύτην γράψαντος καθηγουμένου. *Christodulus, cui S. tribuit tabulam, est successor quartus conditoris monasterii.*

## XLIII. Sine anno et mense.

*Pepanus filius protopapae ecclesiae Sancti Salvatoris dimidium horti siti in Stellio et alterum dimidium donat monasterio S. Ioannis Theologi.*

| Σίγνον | Πεπανοῦ |
|---|---|
| υἱοῦ τοῦ | πρωτοπαπᾶ |

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ Πεπανὸς ὁ υἱὸς τοῦ πρωτοπαπᾶ, ὁ καὶ ἄνωθεν τοῦ ὕφους τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν οἰκειοχείρως ποιήσας, ζῶντος μου καὶ φρενοῦντος μου καὶ πάσης αἰσθήσεως καὶ νοὸς ἔχοντα, ἑκουσίως καὶ ἀμεταμελήτως τίθημι καὶ ποιῶ διάταξιν περὶ τοῦ περιβολίου μου τὸ διακείμενον ἐν τῇ τοποθεσίᾳ τοῦ λεγομένου Στελλίου εἰς τὴν Ἀποθήκην, δι' οὗ καὶ τὴν διόρισιν ἔχει ἀπὸ τὴν πλάκαν τῆς ἀγριελαίας καὶ περιγυρίζοντα τὸ περιτρόχωμα καὶ ἀναβαίνοντα τὴν βρύσιν καὶ ὑπαγενόμενον τὴν στράταν κατέναντι, ὅπου καὶ τὴν ἀρχὴν αὐτὸ ἐποιησάμην, ἵνα μετὰ τὴν ἐμὴν τελευτὴν μερίζηται τὸ τοιοῦτον κτῆμα εἰς δύο μερίδας καὶ τὴν μὲν μίαν μερίδα ἐπαφίω ἐν τῇ ἐκκλησίᾳ, ἣν ἐποιησάμην διεξόδου καὶ κόπου μου, τῇ ἐπιφερομένῃ τὸ ὄνομα τοῦ κυρίου καὶ θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἡ δὲ ἑτέρα μερὶς προσφέρηται πρὸς τὸν ἠγαπημένον παρθένον Ἰωάννην τὸ Θεολόγον καὶ τὸν ὅσιον πατέρα ἡμῶν Χριστόδουλον ἐν τῇ σεβασμίᾳ μονῇ τῆς νήσου Πάτμου, χάριν μνημοσύνου μου καὶ ψυχικῆς μου σωτηρίας, καὶ οὐκ ἔστιν ὁ ἀναζητῶν ἢ ἀναγυρεύων αὐτό, οὔτε παιδίον μου, οὔτε μὴν παιδία παιδίων μου, οὔτε τις ἐκ τοῦ μέρους καὶ συγγενείας μου, οὔτε ἀδελφὸς οὔτε συγκληρονόμος. εἰ δὲ καὶ βουληθείη τις ἐκ τῶν ἄνωθεν προγεγραμμένων ἀνατρέψαι ταύτην τὴν διαθήκην μου καὶ εἰς φροῦδον θήσει τὰ διαλεχθέντα, λέγω δὴ καὶ τὰ γραφέντα, ἐμφανιζομένης τῆς διαθήκης μου ταύτης, ἣν διετυπωσάμην, μὴ μόνον τοῦ ἀπωθεῖσθαι αὐτὸν καὶ ζημιοῦσθαι παρὰ τοῦ ἐνεργοῦντος ἐκεῖσε τῷ τότε καιρῷ, ἀλλὰ ἐπιτίθημι αὐτῷ καὶ τὴν ἀρὰν τῶν τριακοσίων ιη' ἁγίων θεοφόρων πατέρων καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ Ἰούδα καὶ μετὰ τῶν σταυρωσάντων τὸν κύριον· ἕξει δὲ καὶ ἐμὲ δικαζόμενον μετὰ τῆς ψυχῆς αὐτοῦ ἐπὶ τοῦ φοβεροῦ βήματος ἐν τῇ δευτέρᾳ παρουσίᾳ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. τοῦ ὕφους γραφέντος, τῇ ἡμῶν προτροπῇ, διὰ χειρὸς

Βασιλείου ἀναγνώστου τοῦ Ἀρώνη, καὶ ὑπέγραψα διὰ τῶν παρατυχόντων μαρτύρων.

Σίγνον τοῦ Βυ- | Βασιλείου τζίνου. — Σίγνον τοῦ υἱοῦ | Ἰωάννου αὐτοῦ. — Σίγνον τοῦ Κο- | Γεωργίου ντοῦ.

Σίγνον τοῦ Ναξ- | Σεργίου ιώτη. — Σίγνον τοῦ Βι- | Ἰωάννου στάρχου.

*Archetyp. membr. scriptum exeunte saec. XII., ut videtur. Flor. nro 104.*

## XLIV. 6714—1206, mense martio, ind. X.

*Stephanus Hagiostephanita et uxor eius donant monasterio vineas et domos in insula Creta.*

† Στέφανος σεβαστὸς ὁ Ἁγιοστεφανίτης προέταξα. †

Σίγνον τῆς ὁμο- | Ἄννης ζύγου αὐτοῦ.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Στέφανος σεβαστὸς ὁ Ἁγιοστεφανίτης καὶ Ἄννα ἡ ὁμόζυγος αὐτοῦ, ὧν ὁ μὲν τὴν οἰκείαν προταγήν, ἡ δὲ τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἐν ἀρχῇ τοῦ ὕφους ἰδιοχείρως ποιήσαντες τὸ παρὸν τῆς προσενέξεως καὶ ἀφιερώσεως ἔγγραφον ἡμῶν τῶν κατωτέρω δηλωθησομένων ἀμπελώνων τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως καὶ ἀμεταμελήτως πρὸς σὲ τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας καὶ ἁγίας μονῆς τοῦ ἠγαπημένου Θεολόγου τῆς ἐν τῇ νήσῳ τῇ Πάτμῳ, κῦριν Εὐθύμιον, καὶ διὰ σοῦ καὶ πρὸς τοὺς ἐν τῇ τοιαύτῃ μονῇ οἰκοῦντας μοναχοὺς καὶ τὸ ἅπαν καὶ παντοῖον μέρος τῆς τοιαύτης μονῆς, καθὼς δηλωθήσεται. δι' οὗ δὴ ἐγγράφου ἡμῶν δωρούμεθα καὶ παραπέμπομεν πρὸς ὑμᾶς καὶ πρὸς τὴν ῥηθεῖσαν ἁγίαν μονὴν μνημοσύνου ἡμῶν χάριν ἀπὸ τῶν ἐν τῇ νήσῳ Κρήτῃ ὑπαρχόντων ἡμῖν ἀμπελώνων τὰ γονικόθεν περιελθόντα ἡμῖν ἀμπέλια τὰ καὶ κατὰ τὸ χωρίον Βαρβάρους διακείμενα, οἷα καὶ ὅσα εἰσίν, ἄνευ μέντοι τοῦ ἀμπελίου τῆς μιᾶς ὁλοκοτη . . ας, τοῦ ὄντος κατὰ τὴν θέσιν τοῦ Λάκκου, ὡς δοθέντος αὐτοῦ παρ' ἡμῶν εἰς τὴν μονὴν τὴν ἐν Κρήτῃ οὖσαν ἐν τῷ ὄρει τῷ ἐπιλεγομένῳ Κίκουτι καὶ αὐτὸ χάριν μνήμης ἡμῶν. οὕτως οὖν ὀφείλετε κατέχειν τὰ τοιαῦτα ἀμπέλια δικαίῳ τῆς μονῆς ἐπὶ συμφωνίαις καὶ διαστέρξεσιν, ἐν αἷς καὶ ὁ μοναχὸς κῦρις Λεόντιος ὁ Ὀρέστης συνεφώνησεν ἐπὶ τοῖς παρ' αὐτοῦ δοθεῖσιν ἐν τῇ τοιαύτῃ μονῇ ἀμπελίοις. καὶ συμφωνοῦμεν καὶ κατατιθέμεθα, ὥστε κατέχειν τὰ τοιαῦτα ἀμπέλια ἡ δηλωθεῖσα μονὴ ἀπό γε τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ διηνεκές,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α. της Ε.Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μέχρις ἂν τόδε τὸ περίγειον συνίσταται, νέμεσθαί τε καὶ ἀποκερδαίνειν καὶ τὸν ἐξ αὐτῶν ἐτησίως εἰσοδιαζόμενον καρπόν, καθὼς οἱ καιροὶ ἐμφορῶσιν, ὡς καὶ ὑμῶν καὶ τῶν καθ' ὑμᾶς ἀσκουμένων ἐν τῇ τοιαύτῃ μονῇ μοναχῶν ὀφειλόντων μνείαν διηνεκῆ ποιεῖσθαι ἡμῶν ἐν ταῖς ἐν τῇ τοιαύτῃ μονῇ τελουμέναις ἱεροτελεστείαις ἐφ' ἑκάστῃ ἡμέρᾳ· ἐπὶ τοῦτο γὰρ καὶ τὸ παρὸν ἔγγραφον ἡμῶν πρὸς τὴν τοιαύτην μονὴν ἐξεθέμεθα, δι' οὗ καὶ ἀσφαλιζόμεθα, ὡς, εἴπερ οὐ στέργομεν καὶ ἐμμένομεν τῷ παρόντι ἐγγράφῳ ἡμῶν, ἀλλὰ κατά τινα τρόπον πρὸς ταῦτα διαναβάλλομεν, μὴ μόνον ἀνήκουστοι καὶ ἀπρόσδεκτοι λογιζόμεθα ἡμεῖς τε καὶ ἅπαν τὸ μέρος ἡμῶν, ἐφ' οἷς ἂν καὶ λέγειν ἔχωμεν, ἀλλὰ καὶ προστίμου δόσιν πρὸς τὸ μέρος τῆς μονῆς ἀποδίδομεν νομισμάτων λίτρας τρεῖς, πρὸς δὲ τὸ βασιλικὸν βεστιάριον τὸ τρίτον τούτων. εἰ καὶ ἀνωτέρω οὐ δεδήλωται καὶ περὶ τῶν ἐκεῖσε ὄντων οἰκημάτων, ἀλλ' οὖν δωρούμεθα παρακλητικῶς καὶ τὰ ἐν τῷ τοιούτῳ προαστείῳ ὄντα καὶ διαφέροντα ἡμῖν οἰκήματα τῶν ἀνωτέρω προστίμων κρατούντων καὶ ἐπὶ τῇ τοιαύτῃ προσθήκῃ. μηνὶ μαρτίῳ, ἰνδικτιῶνος ι', ἔτους ,ςψιδ', παρουσίᾳ τῶν μαρτύρων. †

† Κωνσταντῖνος, εὐτελὴς ἱερεύς, κληρικὸς τῆς ἁγιωτάτης ἐπισκοπῆς Κνωσσοῦ ἤτοι τοῦ Χάνδακος καὶ ταβουλλάριος, ὁ Σαχλίκης πάρειμι ἐπὶ τῇ παρούσῃ προσενέξει τῶν ἄνωθεν δηλουμένων ἀμπελώνων, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα, σὺν τῇ προσθήκῃ. †

† Ἰωάννης ταβουλλάριος ὁ Κοτζανάτος πάρειμι ἐπὶ τῇ παρούσῃ προσενέξει τῶν ἄνωθεν δηλουμένων ἀμπελώνων καὶ οἰκημάτων, ὡς τὸ ὕφος καὶ ἡ προσθήκη δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα. †

† Ὁ γραφεὺς τοῦ ὕφους Μιχαήλ, εὐτελὴς ἱερεὺς καὶ ταβουλλάριος τῆς νήσου Κρήτης, ὁ Λιμενίτης μαρτυρῶν καὶ αὐτὸς ὑπέγραψα. †

*Archetyp. membr. Flor. nro 96. Error in indictione.*

## XLV. 6715—1207, mense iulio, ind. XI.

*Basilius Mancaphas et nepotes Georgio Eunucho vendunt agrum situm in regione Fontis.*

† Τὰ εἶσα τῶν δικαιωμάτων τὰ ἐν τῇ τοποθεσίᾳ τῆς Πηγῆς. †

| Σίγνον | Βασιλείου τοῦ | Σίγνον | Γεωργίου τοῦ |
|---|---|---|---|
| Μαγκα- | φᾶ. | ἀνεψιοῦ | αὐτοῦ. |

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Βασίλειος ὁ Μαγκαφὰς ἅμα τοῖς ἀνεψίοις μου οἱ τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς

οἰκειοχείρως ἄνωθεν ποιήσαντες τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον, ἀμετάτρεπτον, ἀναλλοίωτον καὶ καθαρὰν τῷ διόλου διάπρασιν τιθέμεθα καὶ ποιῶμεν ἑκουσίως, ἀφόβως καὶ ἀβιάστως, οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ φάκτου ἀγνοίας ἢ τῶν ἄλλων ἁπάντων τῶν τοῖς θείοις νόμοις ἐπιτετραμμένων, ἀλλὰ μετὰ πάσης ἡμῶν τῆς προθυμίας καὶ βεβουλευμένου σκοποῦ καὶ θελήσεως, καθὼς ὑποτέτακται. ἐπεὶ χωράφιον ἔχομεν ἐκ γονικῶν ἡμῶν κληροδοσιῶν εἰς τὴν τοποθεσίαν τῆς Πηγῆς, συγκεκολλημένα μετὰ τῶν χωραφίων τοῦ Κεφαλᾶ, καὶ εἰς τὸ ἄνω μέρος συγκεκολλημένα μετὰ τῶν χωραφίων τοῦ Νίκη, ἔστωσαν δὲ ὡσεὶ μοδίων εἴκοσι· καὶ δὴ κατὰ τὴν σήμερον πιπράσκομεν τὰ τοιαῦτα χωράφια πρὸς σὲ τὸν μεγαλοδοξότατον πρωτοβεστιάριον κῦριν Γεώργιον τὸν Εὐνοῦχον εἰς νομίσματα ἑπτά, ὡς ἂν κατέχῃς αὐτὰ [εἰς τοὺς] ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, πωλεῖν, δωρεῖσθαι, προικίζειν καὶ λεγάτον αὐτῷ παραπέμπειν, καὶ ἁπλῶς πάντα ἐν τούτῳ πράττειν σε, ὅσα καὶ οἱ θεῖοι νόμοι τοῖς οἰκείοις δεσπόταις εἰς τὰ ἑαυτῶν πράττειν διακελεύονται. εἴ τις δὲ εὑρεθῇ λέγειν τι περὶ τούτων, οὐ μετέχει, ὡς ὀφείλοντες ἡμεῖς ἀποπαύειν τοῦτον. εἰ δέ ποτε ἀπὸ τῶν ἀδελφῶν ἡμῶν ἢ συμπλησιαστῶν ἢ διακατόχων, ὅστις ἂν καὶ εἴη, πρὸς τὸ μὴ εἰσακούεσθαι· ἀλλὰ καὶ ἡμεῖς αὐτοὶ ὀψέ ποτε μετάμελοι γεγενημένοι τῆς παρούσης πράσεως ἡμῶν, ἢ πλείονα τιμῆς ἐπιζητίσωμεν, ἵνα ἔχωμεν ἀρὰν καὶ ἀνάθεμα, καὶ ἡ μερὶς ἡμῶν μετὰ τοῦ Ἰούδα, ζημ[ιώ]μεθα δὲ λόγῳ προστίμου νομίσματα εἴ[κοσι] τέσσαρα [καὶ] τῷ βασιλικῷ βεστιαρίῳ τῷ κατὰ [νόμον. ἐπὶ τούτῳ] γέγονεν παρ' ἡμῶν ἡ παροῦσα φανερὰ πρᾶσις ἐνώπιον τῶν ὑπογραψάντων [μαρτύρων]. μηνὶ Ἰουλίῳ ἰνδικτιῶνος ια' ἔτους ,ςψιε'. †

Αἱ ὑπογραφαὶ τῶν μαρτύρων·

† Λέων, ἱερεὺς καὶ πρωτοπαπᾶς τῆς ἁγιωτάτης ἐπισκοπῆς Ἱεροῦ ὁ Συρόπουλος, πάρειμι ἐπὶ τῇ παρούσει πράσει καὶ ἀποδόσει τῶν τοιούτων νομισμάτων ὑπέγραψα. †

† Ἰωάννης ἱερεὺς ὁ Μυρσινιώτης καὶ δευτερεύων τῆς ἁγιωτάτης ἐπισκοπῆς Ἱεροῦ ὑπέγραψα. †

Ἡ ὑπογραφή·

| | | | | | |
|---|---|---|---|---|---|
| Σίγνον | [Ἰωάννου τοῦ] | [Σίγνον] | Λέοντος | Σίγνον | Λέοντος τοῦ |
| Τζαγκα- | ροπούλου. | τοῦ Τα- | χινοῦ. | Λί- | μνης. |
| | | Σίγνον | Ἰωάννου | | |
| | | τοῦ Μουρ- | ζούλου. | | |

† Ὁ εὐτελὴς ἱερεύς, νομικὸς καὶ κληρικὸς τῆς ἁγιωτάτης ἐπισκοπῆς Ἱεροῦ . . . . . . οἰκείᾳ χειρὶ ἔγραψα καὶ ὑπέγραψα. †

*Exemplar chartaceum. Error in ind. Flor. pro 93—94 a. cum aliis tabulis eodem numero signatis, quae sequuntur inferius. Titulus est:* Δίκαια τῆς Κεχωνισμένης: *ubi autem chartae glutine iunctae sunt, confirmantur sequenti subscriptione:* † Ὁ εὐτελὴς ἐπίσκοπος Λίμνης Μιχαήλ. †

## XLVI. Sine anno, die I. mensis maii, ind. XII.

*Manuel, metropolita Mileti, dirimit controversiam de agro ortam inter monasterium S. Ioannis et habitatores Palatiorum.*

† Μηνὶ μαΐῳ, ἡμέρᾳ α', ἰνδικτιῶνος ιβ', ἐπὶ παρουσίᾳ τῶν οἰκειακῶν ἀνθρώπων τοῦ περιποθήτου θείου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, πανυπερσεβάστου καὶ μεγάλου δουκός, τοῦ τε πανεντιμοτάτου κυροῦ Ἰωάννου τοῦ Πισσίτου καὶ τοῦ πρωτοβεστιαρίου κυροῦ Ἰωάννου, τοῦ μεγαλοδοξοτάτου πράκτορος Παλατίων, κυροῦ Ἰωάννου τοῦ Εὐδαιμονίτζη, τῶν θεοσεβεστάτων ἱερέων καὶ κληρικῶν τῆς καθ' ἡμᾶς ἁγιωτάτης μητροπόλεως Μιλήτου, τοῦ πρωτοπαπᾶ κυροῦ Μιχαὴλ τοῦ Νίκη, τοῦ δευτερεύοντος κυροῦ Ἰωάννου τοῦ Γαβρᾶ, τοῦ Καραντινοῦ κυροῦ Κωνσταντίνου, τοῦ ἐκκλησιάρχου κυροῦ Βασιλείου τοῦ Πισσίτου, τοῦ ἐξάρχου κυροῦ Ἰωάννου τοῦ Μαρουλᾶ καὶ τῶν λοιπῶν ἱερέων καὶ διακόνων καὶ ἀπὸ τῶν οἰκοδεσποτῶν τῆς χώρας τῶν Παλατίων τοῦ Κουκουμᾶ Νικήτα, τοῦ Κουκουμᾶ Γεωργίου, τοῦ Κωνστωνίτου Κωνσταντίνου, τοῦ Μαιανδρινοῦ Λέοντος, τοῦ Βλεροῦ Κωνσταντίνου, τοῦ Λάμπωνος Λέοντος, τοῦ διακόνου Νικολάου, Νικήτα τοῦ Κουλίκη. †

† Ἀμφιμαχία ἐπέπεσέ τις μέσον τῆς σεβασμίας μονῆς τοῦ ἁγίου Ἰωάννου τῆς ἐν Βάτῳ λεγομένης καὶ τῶν Παλατινῶν ἐποίκων, τῶν λεγομένων Λαμπώνων, περὶ χωραφίου τινὸς γονικοῦ τῶν αὐτῶν Λαμπώνων ἐπιλεγομένου τῆς Σταυροπηγῆς, τῶν μὲν μοναχῶν τῆς αὐτῆς μονῆς λ[εγ]όντων διαφέρειν τῇ κατ' αὐτοὺς σεβασμίᾳ μονῇ, τῶν Λαμπώνων δὲ ἀντιλεγόντων, ὅτι γονικὸν αὐτοῖς ὑπάρχει πρᾶγμα καὶ οὐκ ἄλλου τινός· ὅθεν καὶ οὐκ ὀλίγαι συντυχίαι διαφόρως παρ' ἀμφοτέρων περὶ τοῦ αὐτοῦ χωραφίου γεγόνασι καὶ ἐγκλητεύσεις. ἐπεὶ δὲ καὶ αὖθις οἱ διαληφθέντες Λάμπωνες τὴν τοιαύτην ὑπόθεσιν ἐνεκλήτευσαν πρὸς τὸν περιπόθητον θεῖον τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, πανυπερσέβαστον καὶ μέγαν δούκαν, κῦριν Θεόδοτον τὸν Φωκᾶν, καὶ οὐκ εἶχεν ἄδειαν τηρῆσαι αὐτήν, δι' οὗ ἐνησχολεῖτο εἰς βασιλικὰς δουλείας, πρὸς τὴν ἡμῶν ταύτην ἀνέθηκε με-

τριότητα, ἵνα δι᾿ αὐτῆς καὶ τηρηθῇ καὶ κριθῇ καὶ ἀποκατάστασις γένηται δι᾿ ἡμεδαποῦ σημειώματος κατὰ τὴν τῆς ἀληθείας διάγνωσιν, ἡμεῖς δὲ θέλοντες ἄμφω τὰ μέρη παραγενέσθαι, οἱ Λάμπωνες καὶ αὖθις πρῶτοι πρὸς ἡμᾶς παρεγένοντο τῇ προπαρελθούσῃ κυριακῇ ἐλθόντων καὶ τὰ περὶ τοῦ ἀνακαλουμένου παρ᾿ αὐτοῖς γονικοῦ αὐτῶν χωραφίου διενοχλούντων, οὐκ ἠθελήσαμεν δὲ ἡμεῖς ἀπουσίᾳ τοῦ μέρους τῆς μονῆς κρῖναι μονοπροσώπως τὴν τοιαύτην ὑπόθεσιν, καθὼς καὶ οὐδὲ δίκαιον ἦν, ὅμως ἐρωτηματικῶς καὶ ὡς ἐπὶ δοκιμασίᾳ τοὺς μεθ᾿ ἡμῶν συνεδριαζομένους μετ᾿ ἐπιτιμίου ἠρώμεθα εἰπεῖν ὁ καθένα τούτων, εἴ τι καὶ σύνοιδεν ἐπὶ τὸ ἐπίδικον τουτὶ χωράφιον· εὐθὺς ὁ τοῦ ἡμετέρου κλήρου πρωτοπαπᾶς Μιχαὴλ ἱερεὺς ὁ τοῦ Νίκη πρῶτος πάντων ἀπελογίσατο οὕτως εἰπών, ὅτι «τὸ χωράφιον αὐτό, τὸ κάτωθεν τῆς ὁδοῦ τῆς Σταυροπηγῆς, καλῶς οἴδαμεν καὶ γινώσκομεν, ὅτι τῶν τοιούτων Λαμπώνων ἐστὶ γονικόν, δι᾿ οὗ καὶ ἐκαμώθη παρ᾿ ἐμοὶ μετὰ τὴν ἅλωσιν τῆς χώρας ἡμῶν, τῶν Παλατίων, κοινὴν ἔχων τήν τε κατασπορὰν μετὰ τοῦ αὐταδέλφου τοῦ μοναχοῦ Λουκᾶ ἐκείνου τοῦ Λάμπωνος, τοῦ λεγομένου Βοράχου». τὸ αὐτὸ καὶ Νικήτας ὁ Κουλύκης ἔλεγεν ὅτι «τῶν Λαμπώνων ἐστὶ γονικὸν καὶ δικαίῳ αὐτῶν ἔκαμνε τοῦτο ὁ Γουλίελμος κῦρις Θεόδωρος, ὡς ἔχων κἀμὲ καὶ αὐτοὺς παροίκους». τὰ ὅμοια τούτοις καὶ οἱ λοιποὶ ἔλεγον τοὺς Λάμπωνας οἱ πάντες ἀνακαλούμενοι κληρονόμους. ὁ δέ γε πανεντιμότατος κῦρις Ἰωάννης ὁ Πισσίτης καὶ ὁ πράκτωρ Παλατίων, κῦρις Ἰωάννης ὁ Εὐδαιμονίτζης, καὶ ἑτέραν ὑπὲρ τοῦ τοιούτου χωραφίου ὑπόθεσιν ἡμῖν ἀφηγήσαντο, οὕτως εἰπόντες, ὅτι «τοῦ μοναχοῦ Λουκᾶ ἐκείνου τοῦ Λάμπωνος κατὰ τὸν πέρυσιν καιρὸν ψυχορραγοῦντος ἐν τῇ χώρᾳ ταύτῃ τῶν Παλατίων εἰς ἐπίσκεψιν αὐτοῦ παρεγενόμεθα, παρόντων καὶ τῶν μεγαλοδοξοτάτων συντρόφων ἡμῶν, τοῦ τε λογαριαστοῦ κυροῦ Μιχαὴλ τοῦ Βασιλίκη καὶ τοῦ πρωτοβεστιαρίου κυροῦ Γεωργίου, καὶ διαταττομένου τούτου ἐγγράφως τὰ κατ᾿ αὐτὸν ἠκούσαμεν καταλιμπάνειν πρὸς τὴν σεβασμίαν μονὴν τῆς Χιονισμένης χάριν καταθεσήματος αὐτοῦ καὶ μνημοσύνου, χωράφιον πινακίων ἓξ ἀπὸ τῆς ὁλότητος δηλονότι τοῦ χωραφίου τῆς Βρύσεως, ἤτοι τὸ ἀδελφικὸν αὐτοῦ.» τὶς δὲ τῶν συμπαρόντων ἡμῖν εἴρηκεν αὐτῷ· ἠκούσαμεν δοῦναί σε αὐτό ποτε πρὸς τὴν μονὴν τοῦ ἁγίου Ἰωάννου· ὁ δέ, «ναί, ἀνταπεκρίνατο· ἀποκαρεὶς γὰρ ἐκεῖσε ἐν ὑποσχέσει τοῦ Καλουχάτη, νὰ ἔχω οἰκονομίαν καὶ ἀνάπαυσιν, ἔδιδον αὐτὸ καὶ ἄλλο εἴ τι εἶχον ἀπὸ τοῦ βίου μου, ὡς δὲ μετ᾿ ὀλίγον οὐχ εὗρον ἀνάπαυσιν, ἀλλὰ μᾶλλον καὶ ὄχλησιν, ἀνελαβόμην καὶ αὐτὸ καὶ ἄλλο εἴ τι δέδωκα, καὶ ἀπῆλθον τῇ βουλῇ καὶ θελήσει καὶ αὐτοῦ δὴ ἐκείνου τοῦ Καλουχάτη ἀμείβων ἀπὸ τότε ἐκ τόπου εἰς τόπον. ἐπεὶ δὲ τὸ τέλος τῆς ζωῆς μου κατήντησεν εἰς τὴν μονὴν τῆς Χιονι-

σμένης, ἐπαφιῶ καὶ αὐτὸ πρὸς αὐτὴν καὶ ἑτέρων ἑπτὰ μοδίων χωράφια τὰ πλησίον». καὶ ταῦτα μὲν ἐλαλήθησαν ἀπουσίᾳ τοῦ μέρους τῆς μονῆς τοῦ ἁγίου Ἰωάννου κατὰ τὴν προπαρελθοῦσαν κυριακήν, ὡς εἴρηται, δι᾽ οὗ ἐν ἀσθενείᾳ ἦν ὁ ἱερομόναχος κῦρις Θεοδόσιος καὶ καθηγούμενος τῆς αὐτῆς μονῆς καὶ οὐκ ἠδυνήθη τῷ τότε καὶ αὐτὸς ἐλθῆναι, καθὼς αὐτῷ διεμηνυσάμεθα. ἐπεὶ δὲ καὶ αὐτὸς κατὰ τὴν σήμερον μετὰ τῆς ὅλης αὐτοῦ ἀδελφότητος πρὸς τὴν ἡμῶν μητριότητα παραγέγονε, παρέστη καὶ τὸ μέρος τῶν Λαμπώνων καὶ παρουσίᾳ τῶν ἄνωθεν συνεδριαζομένων, σχεδὸν εἰπεῖν καὶ ὅλης τῆς χώρας, ἠρξώμεθα τῆς ὑποθέσεως, τὴν ἐρώτησιν καὶ πάλιν ποι[οῦν]τες πρὸς τοὺς ἐγχωρίους, οἵτινες καὶ ὡσεὶ ἓν χεῖλος οἱ ἅπαντες γεγονότες μιᾷ τῇ φωνῇ ἀπελογίσαντο εἰπόντες, ὅτι «τῶν Λαμπώνων ἐστὶ καὶ αὐτοὺς γινώσκομεν ἐξ ἀρχῆς καὶ ἄνωθεν κληρονόμους καὶ οὐκ ἄλλον τινά». ὁ δέ γε πρωτοπαπᾶς, ὡς ἐπὶ τὸ πρῶτον, καὶ πάλιν διεμαρτύρει τὰ αὐτὰ λέγων, ἅπερ καὶ ἀπόντων τῶν μοναχῶν ἔλεγεν, ὅτι «τῶν Λαμπώνων ἐστὶ καὶ ἡ μονὴ τοῦ ἁγίου Ἰωάννου οὐ μετέχει». τηνικαῦτα ἀναστὰς ὁ καθηγούμενος ἐζήτει ἀφορισθῆναι τὸν τοιοῦτον πρωτοπαπᾶν παρ᾽ ἡμῶν, εἰ ἄρα ἀλήθειαν λέγει. ἡμεῖς δὲ καὶ τοῦτο ποιήσαντες κατὰ τὴν τοῦ καθηγουμένου θέλησιν, ὁ πρωτοπαπᾶς καὶ μετὰ τοῦ παρ᾽ ἡμῶν ὑπὲρ τούτου ἀφορισθῆναι τὰ αὐτὰ καὶ πάλιν τρανότερον ἔλεγεν, φάρσον καὶ μᾶλλον τὸ διάταγμα ἐκείνου τοῦ Κουτζουμανίκου ἀποκαλῶν· ἐδείκνυε γὰρ ἡμῖν τὸ μέρος τῆς μονῆς τοῦ ἁγίου Ἰωάννου διάταγμα τοῦ κτήτορος αὐτῆς ἐκείνου τοῦ Κουτζομανίκου καὶ εὑρίσκετο καὶ τὸ ὑπόδικον τοῦτο χωράφιον ἐν μέσῳ τούτο μετὰ ἄλλων χωραφίων ἐγγεγραμμένον, πλὴν ἀνωνύμως· οὐδὲ γὰρ διελάμβανε ῥητῶς, πόθεν καὶ παρὰ τίνος καὶ ἐν ποίῳ τρόπῳ περιῆλθε τῇ κατ᾽ αὐτὸν μονῇ, καθὼς καὶ ἐπὶ τοῖς ἄλλοις χωραφίοις σαφέστερον διηγόρευσεν· ἀλλ᾽ ἢ μόνον χωράφιον τὸ δεῖνα. διὰ τοῦτο καὶ ἀπορία ἦν τοῖς μοναχοῖς, μὴ δυναμένων ἀντιπεσεῖν τῷ μέρει τῶν Λαμπώνων· ἐστενοχωροῦντο γὰρ παρ᾽ αὐτῶν, καὶ οὐκ ἠδύναντο δεῖξαι, πόθεν καὶ παρὰ τίνος περιῆλθεν αὐτοῖς τὸν κτήτορα τούτοις καὶ μόνον λέγοντες εἰδέναι περὶ αὐτοῦ, ὃς καὶ ἐν τῇ διατάξει αὐτοῦ τέθεικε μετὰ τῶν ἄλλων καὶ τοῦτο, ἡμεῖς δὲ ἐπὶ τούτοις ἐξαπορούμενοι, πῶς ἄρα μέλλομεν περατῶσαι τὴν τοιαύτην ὑπόθεσιν. δι᾽ οὗ ἡ μὲν ἅπασα χώρα δι᾽ ἐπιτιμίων καὶ ἀφορισμῶν ἐδείκνυε τοὺς Λάμπωνας κληρονόμους καὶ αὐθέντας ἐπὶ τοῦτο, οἱ μοναχοὶ δὲ πάλιν ἀνθίσταντο τὸ ῥητὸν τὸ ἐν τῇ διατάξει τοῦ κτήτορος αὐτῶν, ἐκείνου τοῦ Κουτζομανίκου, ὁ διαληφθεὶς πανεντιμότατος κῦρις Ἰωάννης ὁ Πισσίτης, ἐξαπορουμένους ἡμᾶς ἰδών, τέλος πάντων, ὡς τῆς ἀληθείας πρεσβευτής, ἐκ φόβου θεοῦ εἴρηκε λυθῆναι θέλων τὴν ἀμφισβήτησιν· εἶπε γὰρ μεγαλοφώνως ἐν ἐπηκόῳ πάντων, ὅτι

«γέννημα καὶ θρέμμα ὑπάρχων καὶ αὐτὸς τὸν Παλατίων ἔφθασα εἰδέναι, ἐνηλίκου τότε ὄντος μου, ὅτι ὁ Κουτζομάνικος ἐκεῖνος ἐζήτει τὸ τοιοῦτον χωράφιον ἀπὸ τοὺς κληρονόμους, δι᾽ οὗ ἐπλησίαζε τὴν μονήν· οὐδὲν δὲ κατετίθεντο ἐκεῖνοι τοῦτο ποιῆσαι. ὡς γοῦν ἀποκατέστησε τὴν μονὴν καὶ ἠθέλησεν ἐγγράφως ἀναγράψασθαι ἅπαντα τὰ ἀφιερωθέντα αὐτῇ παρ᾽ αὐτοῦ, τέθεικε καὶ τὸ τοιοῦτον χωράφιον προσδοκήσας, ὅτι ὀψέ ποτε, ἵνα κατανύξῃ αὐτός, καὶ νὰ τὸ ἐκδώσουν πρὸς τὴν μονήν. ὡς δὲ οἱ κληρονόμοι καὶ μετὰ ταῦτα πολεμηθέντες παρ᾽ αὐτοῦ οὐκ ἠθέλησαν οὔτε διαπρᾶσαι οὔτε κατὰ δωρεὰν τοῦτο δοῦναι ἢ ἀλλοτρόπως, ἔμεινεν ἡ ὑπόθεσις οὕτως ἄπρακτος καὶ εὑρίσκεται μὲν εἰς τὰ δικαιώματα τῆς μονῆς, διὰ τὸ φθασθῆναι τεθῆναι οὕτως, ὡς εἶπον· οὐ μὴν δὲ ἐδόθη παρὰ τῶν κληρονόμων, καθὼς καί τινες τῶν μοναχῶν γινώσκουσι, κἂν καὶ οὐ θέλωσι λέγειν». ταῦτα αὐτοῦ εἰπόντος ἐλύθη ἡ ἀμφισβήτησις καὶ τὸ μὲν μέρος τῆς μονῆς τοῦ ἁγίου Ἰωάννου ἀποβουκολισθὲν ἀπῆλθεν καταδικασθεὶς ἀπὸ μαρτυρίας καὶ ἀποδείξεως τῶν ἐγχωρίων, τὸ δὲ μέρος τῶν Λαμπώνων δικαιωθὲν ἀπεκατέστη καὶ αὖθις εἰς τὸ γονικὸν καὶ κληρονομικὸν αὐτοῖς πρᾶγμα ἀπολαβόντων τῶν ἰδίων, ὡς ἀμετόχου ἀποδειχθέντος τοῦ μέρους τῆς σεβασμίας τοῦ ἁγίου Ἰωάννου μονῆς, ὡς εἴρηται. ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα ἀποκατάστασις δι᾽ ἡμετέρας σημειώσεως γεγονυῖα ἐπεδόθη τῷ μέρει τῶν Λαμπώνων εἰς ἀσφάλειαν, μηνὶ καὶ ἰνδικτιῶνος τοῖς προγεγραμμένοις.

† Ὁ ταπεινὸς μητροπολίτης Μιλήτου Μανουήλ. †

*Archetyp. chart. Flor. nro 82. Tabula est anni 1209 aut 1224.*

## XLVII. 6721—1212, mense octobri, ind. I.

*Basilius Comanes et uxor eius protovestiario Georgio Eunucho vendunt agrum situm in regione Tropigarum.*

| | | | |
|---|---|---|---|
| Σίγνον Βα- | σιλείου τοῦ Κόμανη | Σίγνον | Ἄννης |
| γαμβροῦ Γεωργίου ἱ- | ερέως τοῦ Καρίκη. | τῆς | συμβίου αὐτοῦ. |

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀεὶ παρθένου Μαρίας. Βασίλειος ὁ Κόμανης καὶ γαμβρὸς Γεωργίου ἱερέως τοῦ Καρίκη ἅμα τῇ συμβίῳ μου Ἄννῃ, ἀμφότεροι τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς ἰδιοχείρως ποιήσαντες, τὸ παρὸν πρατήριον ἡμῶν ἐνυπόγραφον ἔγγραφον τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως καὶ ἀμεταμελήτως, μετὰ διασκέψεως πολυμεροῦς καὶ ἀποδοχῆς

μεγίστης χωρίς δόλου, τρόπου, πλάνης, ἀπάτης, δελεασμοῦ, νόμου τε καὶ φάκτου ἀγνοίας καὶ λοιπῶν αἰτίων τῶν τοῖς θείοις νόμοις ἀπηγορευμένων πρὸς σὲ τὸν μεγαλενδοξότατον πρωτοβεστιάριον κῦριν Γεώργιον τὸν Εὐνοῦχον καὶ πρὸς ἅπαν τὸ ἀπολυθήσεται ἀπὸ σοῦ πρόσωπόν τε καὶ μέρος, καθὼς δηλωθήσεται· καὶ γὰρ τὸ χωράφιον, τὸ κεκτήμεθα ἐκ πενθερικῆς ἡμῶν κληρονομίας, τὸ ὂν καὶ διακείμενον ἐν τῇ περιοχῇ τῶν Τρωπιγῶν, ἤ τι τῷ συναξηράτας (sic) μάνδρας σὺν τῇ μιᾷ μάνδρα τῇ πλησίον αὐτοῦ, ὑπάρχον τῇ χωρήσει αὐτοῦ σίτου μοδίων ἐννέα, ὅσον ἂν καὶ ἐστίν, εἰς σιταρίου μόδια τρία, νομίσματα καινούργια ἕξ, ἃ καὶ ἐλάβομεν ταῦτα ἐκ τῶν χειρῶν σου, καὶ τελείως ἐπληρώθη τὸ ὅλον τίμημα αὐτοῦ, καὶ οὐκ ἔχομεν λόγον τινὰ κατὰ σοῦ ἢ τοῦ ὅλου μέρους σου. παρεδόθη δὲ τὸ τοιοῦτον χωράφιον τὴν σήμερον σωματικῇ παραδόσει, τοῦ ἔχειν τοῦτο κυρίως, αὐθεντῶς, ἰδικῶς τε καὶ μονομερῶς, ἀπερισπάστως καὶ ἀνεπικωλύτως μή τινος κωλυόμενος ἢ παρεμποδιζόμενος, οὐ παρ᾽ ἡμῶν τῶν πεπρακότων σοι τὸ τοιοῦτον χωράφιον, οὐ παρ᾽ ἑτέρου προσώπου τὸ σύνολον· ἀλλὰ μᾶλλον ἐκδικεῖν σοι ὀφείλομεν ἀπὸ παντὸς δικαστηρίου τοῦ μὴ γεννᾶν ὀχλὴν σοι ἢ ζήτησιν ἔχειν σοί ποτε τῷ καιρῷ, ἀλλ᾽ ἔχειν τοῦτο καὶ νέμεσθαι ἐπὶ τελείᾳ καὶ ἀναφαιρέτῳ δεσποτείᾳ εἰς τὸ πωλεῖν, προικίζειν, χαρίζειν, λεγατεύειν, ἀνταλλάττειν, καὶ ὅσα οἱ φιλευσεβεῖς καὶ θεῖοι νόμοι παρακελεύονται. ἔτι γοῦν συμφωνοῦμεν καὶ τοῦτο, ὡς ὅτε ὠφέ ποτε τῷ καιρῷ ἀπανακάμψει τις ἀφ᾽ ἡμῶν καὶ λέγει ὑπὲρ τοῦ τοιούτου χωραφίου, ἡμεῖς μέλλομεν ἀποπαύειν καὶ ἀποσοβεῖν τὸν τοιοῦτον, ἐσοῦ μὴ ἐνεχομένου τὸ σύνολον. καὶ κατὰ τοῦτο ἀσφαλιζόμεθα, ὅστις ἄρα τὰ πρὸς ἀνατροπὴν τῆς παρούσης πρατηρίου ἀσφαλοῦς ἐγγράφου πειρώμενος τάχα ἀποσπάσαι ἀπὸ σοῦ μερικῶς ἢ καθόλου ἢ καταβολὴν τιμήματος ἢ βίᾳ ἢ ἀναργυρίᾳ ἢ ἀπάτῃ, τότε μὴ μόνον τὸν Χριστὸν καὶ θεὸν ἡμῶν ἕξομεν διάδικον, ἀλλὰ καὶ τὰς ἀρὰς σχῶμεν τῶν ‚τιη' ἁγίων θεοφόρων πατέρων, καὶ ἡ μερὶς ἡμῶν ταχθείη μετὰ τοῦ ἀχαρίστου καὶ προδότου Ἰούδα, ἀλλὰ καὶ αὐτὰ τὰ ἓξ νομίσματα καινούργια, ἅπερ ἐλάβομεν ἀπό σου, ἐπὶ τὸ διπλοῦν ἀντιστρέφωμεν μετ᾽ αἰσχύνης καὶ πρὸς τὸ [δημόσιον] τὸ τρίτον τούτων. ἐπὶ τοῦτο γὰρ καὶ τὸ παρὸν πρατήριον ἡμῶν ἔγγραφον πρὸς ὑμᾶς πεποιήκαμεν τῇ ἡμῶν προτροπῇ διὰ χειρὸς Κωνσταντίνου ἱερέως τοῦ Μυρσινιώτου, νομικοῦ καὶ δευτερεύοντος τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου, τοῦ κάστρου Παλατίων, ἐνώπιον τῶν ὑπογραψάντων μαρτύρων μηνὶ ὀκτωβρίῳ ἰνδικτιῶνος α' ἔτους ‚ςφκα'. †

† Κησσιανός, ἱερεὺς ὁ Εὐγένης καὶ πρωτοπαπᾶς τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου, πάρειμι ἐπὶ τῇ φανερᾷ καὶ καθαρᾷ πράσει, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα. †

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ Επ. Στη. Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

† Κωνσταντῖνος, ἱερεὺς ὁ Καραντινὸς καὶ κληρικὸς τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα. †

† Κωνσταντῖνος, ἱερεὺς ὁ Ψωμοζούλης καὶ κληρικὸς τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα. †

† Ἰωάννης ὁ Δεμονήτζης πάρειμι ἐπὶ τῇ παρούσῃ πράσει, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα. †

| Σίγνον | Νικήτα | Σίγνον | Νικήτα | Σίγνον | Νικολάου |
|---|---|---|---|---|---|
| τοῦ Κο- | στονίτου. | τοῦ Κου- | κουμᾶ. | τοῦ Ζυ- | γοῦ? |

| Σίγνον | Μιχαὴλ | Σίγνον | Γεωργίου |
|---|---|---|---|
| τοῦ Βαλ- | σαμῶν. | τοῦ Κου- | τζουνάδη. |

† Κωνσταντῖνος, ἱερεὺς ὁ Μυρσινιώτης, νομικὸς καὶ δευτερεύων τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου, τοῦ κάστρου Παλατίων, οἰκείᾳ χειρὶ ἔγραψα καὶ ὑπέγραψα. †

*Archetyp. membr. Flor. nro 98. Haec tabula et aliae tres eodem numero signatae a tergo confirmatae sunt his verbis:* † Τὸ παρὸν πρατήριον τὸ καὶ ἐμφανισθέντι *(sic)* μοι παρὰ τοῦ μεγαλενδοξοτάτου πρωτοβεστιαρίου κυροῦ Γεωργίου διὰ τὸ βέβαιον ἐπεγράφη καὶ παρείθη εἰς ἀσφαλείαν· μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις. † † Ὁ ταπεινὸς μητροπολίτην Μιλήτου Μανουήλ. †

## XLVIII. 6721—1213, mense februario, ind. I.

*Leon Mandales et eius familia protovestiario Georgio Eunucho vendunt agros in regione Tropigarum.*

| Σίγνον | Λέοντος | Σίγνον | Ἀγάθης | Σίγνον | Νικήτα τοῦ |
|---|---|---|---|---|---|
| τοῦ Μαν- | δάλη. | τῆς συμβίου | αὐτοῦ. | υἱοῦ | αὐτῶν. |

| Σίγνον | Γεωργίου τοῦ Χρυ- | Σίγνον | Νικολάου |
|---|---|---|---|
| σάφου τοῦ | ἑτέρου υἱοῦ αὐτῶν. | τοῦ αὐ- | ταδέλφου αὐτῶν. |

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Λέων ὁ υἱὸς ἐκείνου τοῦ ἀποβεβιωκότος Βασιλείου τοῦ Μανδάλη ἅμα τῷ αὐταδέλφῳ μου Νικολάῳ καὶ τῇ συμβίῳ μου Ἀγάθῃ καὶ τῶν γνησίων ἡμῶν παίδων, τοῦ τε Νικήτα καὶ Γεωργίου τοῦ Χρυσάφη, ἀμφότεροι τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς ἰδιοχείρως προτάξαντες τὸ παρὸν πρατήριον ἡμῶν ἐνυπόγραφον ἔγγραφον τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως καὶ ἀμεταμελήτως μετὰ διασκέψεως πολυμεροῦς καὶ ἀποδοχῆς μεγίστης χωρὶς δόλου, τρόπου, πλάνης, ἀπάτης, δελεασμοῦ,

νόμου τε καὶ φάκτου ἀγνοίας καὶ λοιπῶν αἰτίων τῶν τοῖς θείοις νόμοις ἀπηγορευμένων, πρὸς σὲ τὸν μεγαλενδοξότατον πρωτοβεστιάριον κῦριν Γεώργιον τὸν Εὐνοῦχον, διὰ σοῦ καὶ πρὸς ἅπαν τὸ λυθὲν ἀπὸ σοῦ πρόσωπόν τε καὶ μέρος, καθὼς δηλωθήσεται· καὶ γὰρ τὰ ἐκ γονικῆς ἡμῶν κληρονομίας κεκτήμεθα χωράφια τὰ ὄντα καὶ διακείμενα ἐν μὲν τῇ περιοχῇ τῶν Τροπιγῶν τοῦ πλαγινοῦ σὺν τῶν μανδρῶν, ὑπάρχον μοδίων δεκατριῶν, πλησίον τῆς Ἀρμένησσας καὶ τῆς Χελῶνος. πλησίον τοῦ Πτερεώτη, μοδίων ἕξ, τῆς ὡρίας πλησίον τοῦ Κορκιώτου μοδίων τεσσάρων σὺν τὸ κομάτιν τοῦ ἁγίου Κωνσταντίνου πλησίον τοῦ Κουτρουβοῦ, μοδίων τριῶν, τὰ ἀμφότερα μοδίων εἴκοσι καὶ ἕξ, εἰς νομίσματα τὰ ἀρεστὰ ἡμῖν δεκατρία, ἃ καὶ ἐλάβομεν ταῦτα ἐκ τῶν χειρῶν σου καὶ τελείως ἐκπληρωθὲν τὸ ὅλον τίμημα αὐτοῦ, καὶ οὐκ ἔχω λόγον τινὰ κατά σου ἢ τοῦ ὅλου μέρους σου. παρεδώθησάν σοι δὲ τὰ τοιαῦτα χωράφια τὴν σήμερον σωματικῇ παραδόσει, τοῦ ἔχειν ταῦτα καὶ νέμεσθαι κυρίως, αὐθεντῶς, ἰδικῶς τε καὶ μονομερῶς, ἀπεριοσπάστως καὶ ἀνεπικωλύτως μή τινος κωλυόμενος ἢ παρεμποδιζόμενος, οὐ παρ' ἡμῶν τῶν πεπρακότων σοι τὰ τοιαῦτα χωράφια, οὐ παρ' ἑτέρου προσώπου τὸ σύνολον, ἀλλὰ μᾶλλον ἐκνικεῖν σοι ὀφείλομεν ἀπὸ παντὸς δικαστηρίου, τοῦ μὴ κινεῖν ὄχλην σοι ἢ ζήτησιν ἔχειν σοί ποτε τῷ καιρῷ, ἀλλ' ἔχειν ταῦτα εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους εἰς τὸ πωλεῖν, προικίζειν, χαρίζειν, λεγατεύειν, ἀνταλλάττειν καὶ ἄλλως, ὡς δόξει σοι, τοῦ ἔχειν αὐτά. ἔτι γοῦν συμφωνοῦμεν καὶ τοῦτο, ὡς ὅτε ὀψέ ποτε τῷ καιρῷ ἐπανακάμψει τις ἀφ' ἡμῶν καὶ λέγει ὑπὲρ τῶν τοιούτων χωραφίων, ἡμεῖς μέλλομεν ἀποπαύειν καὶ ἀποσοβεῖν τὸν τοιοῦτον, ἐσοῦ μὴ ἐνεχομένου τὸ σύνολον· καὶ κατὰ τοῦτο ἀσφαλιζόμεθα, ὅστις ἄρα τὰ πρὸς ἀνατροπὴν τῆς παρούσης ἀσφαλείας ἔγγραφα πειρώμενος τάχα ἀποσπάσαι ἀπὸ σοῦ μερικῶς ἢ καθόλου ἢ καταβολὴν τιμήματος ἢ βίᾳ ἢ ἀναργυρίᾳ ἢ τῶν παραγραφῶν προβαλλόμενος, τότε μὴ μόνον τὸν Χριστὸν καὶ θεὸν ἡμῶν ἕξομεν διάδικον, ἀλλὰ καὶ τὰς ἀρὰς [τῶν] ͵τιη' ἁγίων θεοφόρων πατέρων κληρονομοῦμεν καὶ τὸ ἀνάθεμα, καὶ ἡ μερὶς ἡμῶν ταχθείη μετὰ τοῦ ἀχαρίστου καὶ προδότου Ἰούδα, τοῦ εἰπόντος «ἆρον, σταύρωσον τὸν υἱὸν τοῦ θεοῦ». ἀλλὰ αὐτὰ τὰ δεκάτρια νομίσματα καινούργια, ἅπερ ἐλάβομεν ἀπό σου ἐπὶ τὸ διπλοῦν ἀντιστρέψωμεν πρὸς σὲ καὶ τὸ ὅλον μέρος σου καὶ πρὸς τὸ [δημόσιον] τὸ τρίτον τούτων. ἐπὶ τούτο γὰρ καὶ τὸ παρὸν πρατήριον ἡμῶν ἐνυπόγραφον ἔγγραφον πρὸς ὑμᾶς πεποιήκαμεν τῇ ἡμῶν προτροπῇ τῇ χειρὶ Κωνσταντίνου ἱερέως τοῦ Μυρσινιώτου, νομικοῦ καὶ δευτερεύοντος τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου, Κάστρου Παλατίων, ἐνώπιον τῶν ὑπογραφέντων μαρτύρων. μηνὶ φεβρουαρίῳ ἰνδικτιῶνος α' ἔτους ͵ϛψκα'. †

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΑΣΩΣΗ ΕΠΙΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006 Ε.Υ.Α. της Κ.Τ.Π.

† Κησσιανός, ἱερεὺς ὁ Εὐγένιος καὶ πρωτοπαπᾶς τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου, πάρειμι ἐπὶ τῇ παρούσῃ φανερᾷ καὶ καθαρᾷ πράσει, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα. †

† Κωνσταντῖνος, ἱερεὺς ὁ Καραντινὸς καὶ κληρικὸς τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα. †

† Κωνσταντῖνος, ἱερεὺς ὁ Ψωμοζούλης καὶ κληρικὸς τῆς ἁγιωτάτης μητροπόλεως, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα. †

† Ἰωάννης ὁ Δεμονήτζης πάρειμι ἐπὶ τῇ παρούσῃ πράσει ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα. †

| Σίγνον | Νικήτα | Σίγνον | Νικήτα | Σίγνον | Νικήτα |
|---|---|---|---|---|---|
| τοῦ Κω- | στενίτου. | τοῦ Κου- | κουμᾶ. | τοῦ Ζυ- | γοῦ (?) |

| Σίγνον | Μιχαὴλ | Σίγνον | Γεωργίου |
|---|---|---|---|
| τοῦ Βαλ- | σαμῶν. | τοῦ Κου- | τζουνάδη. |

† Κωνσταντῖνος, ἱερεὺς ὁ Μυρσινιώτης, νομικὸς καὶ δευτερεύων τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου, τοῦ κάστρου Παλατίων, οἰκείᾳ χειρὶ ἔγραψα καὶ ὑπέγραψα. †

*Archetyp. membranaceum. Flor. nro 98.*

## XLIX. 6721—1213, mense februario, ind. I.

***Irene Elpidena et eius familia protovestiario Georgio Eunucho vendunt agrum.***

| Σίγνον | Εἰρήνης | Σίγνον | Νικήτα τοῦ Κο- |
|---|---|---|---|
| τῆς Ἐλ- | πίδενας. | σσίφ- | η καὶ γαμβροῦ αὐτῆς. |

| Σίγνον | Μαρίας Κον- | Σίγνον | Εὐφημίας |
|---|---|---|---|
| τοπουλ- | ίνας καὶ θυγατρὸς αὐτῆς. | τῆς ἑτέρας | θυγατρὸς αὐτῆς. |

| Σίγνον | Κωνσταντίνου | Σίγνον | Ἰωάννου τοῦ |
|---|---|---|---|
| τοῦ υἱοῦ Νικήτα | τοῦ Κοσσίφη. | ἑτέρου αὐτοῦ | υἱοῦ. |

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερενδόξου δεσποίνης ἡμῶν [θεοτόκ]ου καὶ ἀειπαρθένου Μαρίας. Εἰρήνη ἡ τῆς Ἐλπίδενας καὶ γνησία νύμφη τῆς Κυπραίας, συν τῷ [οἰκεί]ῳ μου γαμβρῷ Νικήτα τῷ Κοσσίφη καὶ τῆς συμβίου αὐτοῦ Μαρίας τῆς Κοντοπουλλίνας καὶ Εὐφημίας τῆς ἑτέρας μου θυγατρὸς καὶ τῶν ἐγγόνων μου τοῦ τε Κωνσταντίνου καὶ Ἰωάννου, τῶν γνησίων υἱῶν Νικήτα τοῦ Κοσσίφη,

ἀμφότεροι τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς ἰδιοχείρως προτάξαντες τὸ παρὸν πρατήριον ἡμῶν ἐνυπόγραφον ἔγγ[ραφον] τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως καὶ ἀμεταμελήτως μετὰ διασκέψεως πολλυμεροῦς καὶ ἀποδοχῆς μεγίστης χωρὶς δόλου, τρόπου, πλάνης, ἀπάτης, δελεασμοῦ καὶ λοιπῶν αἰτίων τῶν τοῖς νόμοις ἀπηγορευμένων πρὸς σὲ τὸν μεγαλοδοξότατον πρωτοβεστιάριον κῦριν Γεώργιον τὸν Εὐνοῦχον, διὰ σοῦ καὶ πρὸς ἅπαν τὸ ἀπὸ σοῦ ἀπολυθὲν πρόσωπόν τε καὶ μέρος, καθὼς παρακατιὼν ὁ λόγος δηλώσει· καὶ γὰρ τὸ χωράφιον, τὸ ἐκ πενθερικῆς ἡμῶν καὶ κληρονομίας ὑπάρξεως κεκτήμεθα ἀπὸ τοῦ προπάππου ἡμῶν ἐκείνου . . . . . . τοῦ καὶ *(sic)* νοῦ Κοντοπούλου, τὸ ὂν καὶ διακείμενον ἐν τῇ περιοχῇ τοῦ Κανοπᾶ καὶ πλησιαστὰς ἔχοντος ἐν μὲν τὸ δυτικὸν μέρος Γεώργιον τὸν Χατζάνη καὶ ...όριον μέρος τοῦ Κοντοπόλου ἐκείνου κυροῦ Νικήτα καὶ νώτιον μέρος ἔχοντος ἄζηρα τὸ μονοπάτιον τοῦ Κανοπᾶ, ὑπάρχον τῇ χωνρέσι μοδίων σίτου εἴκοσι καὶ δύο, ὅσον ἂν καὶ ἐστίν, εἰς νομίσματα τρικέφαλα καινούργια ἕνδεκα, ἃ καὶ ἐλάβομεν ταῦτα ἐκ τῶν χειρῶν σου, καὶ τελείως ἐκπληρωθὲν τὸ ὅλον τίμημα αὐτοῦ, καὶ οὐκ ἔχομεν λόγον τινὰ κατὰ σοῦ ἢ τοῦ ἀπολυθέντος παρὰ σοῦ προσώπου τε καὶ μέρους. παρεδόθη δὲ τὸ τοιοῦτον χωράφιον τὴν *σήμερον σωματικῇ* παραδόσει, τοῦ ἔχειν σοι τοῦτο καὶ νέμεσθαι κυρίως, αὐθεντῶς, ἰδικῶς [τε] καὶ μονομερῶς, ἀπερισπάστως καὶ ἀνεπικωλύτως, μὴ παρά τινος κωλυόμενος ἢ παρεμποδιζόμενος, οὐ παρ' ἡμῶν τῶν πεπρακότων σοι τὸ τοιοῦτον *χωράφιον, οὐ παρ' ἑτέρου προσώπου τὸ σύνολον*, ἀλλὰ μᾶλλον ἐκδικεῖν σοι ὀφείλομεν ἀπὸ παντὸς δικαστηρίου, τοῦ μὴ κινεῖν ὀχλὴν σοι ἢ ζήτησιν ἔχειν σοί [ποτε τ]ῷ καιρῷ, ἀλλ' ἔχειν τοῦτο ἐπὶ τελείᾳ καὶ ἀναφαιρέτῳ δεσποτείᾳ εἰς τὸ πωλεῖν, προικίζειν, χαρίζειν, λεγατεύειν, καὶ ἄλλος, ὃς δόξῃ σοι, τοῦ ἔχειν αὐτό. ἔτι γοῦν συμφωνοῦμεν καὶ τοῦτο, ὡς ὅτι ὀψέ ποτε τῷ καιρῷ ἐπανακάμψει τις ἀφ' ἡμῶν, καὶ λέγει ὑπὲρ τοῦ τοιούτου χωραφίου, ἡμεῖς μέλλομεν ἀποσοβεῖν τὸν τοιοῦτον, ἐσοῦ μὴ ἐνεχομένου τὸ σύνολον· καὶ κατὰ τοῦτο ἀσφαλιζόμεθα, ὅστις τὴν πρὸς *ἀνατροπὴν* τῆς παρούσης πρατηρίου ἀσφαλοῦς ἐγγράφου πυρούμενος τάχα ἀποσπάσαι ἀπὸ σοῦ μερικῶς ἢ καθόλου ἢ καταβολὴν τιμήματος ἢ ὑπερβολὴν ἢ βίᾳ [ἢ ἀ]ναργυ[ρίᾳ] ἢ ἀπάτῃ, τότε μὴ μόνον τὸν Χριστὸν καὶ θεὸν ἡμῶν ἕξομεν διάδικον, ἀλλὰ καὶ τὰς ἀρὰς τῶν τιη' ἁγίων θεοφόρων πατέρων κληρονομοῦμεν καὶ τὸ *ἀνάθεμα*, καὶ ἡ μερὶς ἡμῶν ταχθείη μετὰ τοῦ ἀχαρίστου καὶ προδότου Ἰούδα, ἀλλὰ καὶ αὐτὰ τὰ ια' νομίσματα ἐπὶ τὸ διπλοῦν ἀντιστρέφομεν, ζημιούμεθα καὶ πρὸς τὸν [δημόσιον] τὸ τρίτον τούτων. ἐπὶ τοῦτο γὰρ τὸ παρὸν πρατήριον ἔγγραφον πρὸς ἡμᾶς ἐξεθέμεθα τῇ ἡμῶν προτροπῇ διὰ χειρὸς Κωνσταντίνου ἱερέως τοῦ Μυρσινιώτου, νομικοῦ καὶ δευτερεύοντος τῆς



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΤΟΜΕΑΣ ΙΣΤΟΡΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ... ΚΑΘΗΓΗΤΗΣ Κ. ΝΤΑΝΤΙΝΟΣ Π. ΨΕΤΣΟΣ ... Εγγ.Α της Κε.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἁγιωτάτης μητροπόλεως Μιλήτου, τοῦ κάστρου Παλατίων, ἐνώπιον τῶν ὑπογραψάντων μαρτύρων. μηνὶ φεβρουαρίῳ ἰνδικτιῶνος α' ἔτους, ͵ςψκα'. †

† Κησσιανός, ἱερεὺς ὁ Εὐγένης καὶ πρωτοπαπᾶς τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου, πάρειμι ἐπὶ τὸ παρὸν παραδοτικόν, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα. †

† Μιχαήλ, ἱερεὺς ὁ Ῥοϊδᾶς καὶ κληρικὸς τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου, πάρειμι ἐπὶ τὸ παρὸν πρατήριον, μαρτυρῶν ὑπέγραψα. †

† Πέτρος ὁ Δεμονίτζης πάρειμι καὶ αὐτὸς μαρτυρῶν ὑπέγραψα. †

† Νικόλαος ὁ Τζαμαύχις πάρειμι ἐπὶ τὸ παρὸν πρατήριον ἔγγραφον, ὡς τὸ ὕφος δηλοῖ, καὶ αὐτὸς μαρτυρῶν ὑπέγραψα. †

| Σίγνον | Νικήτα | Σίγνον | Λέοντος | Σίγνον | Νικολάου |
|---|---|---|---|---|---|
| τοῦ Κου- | κουμᾶ. | τοῦ Μι- | κρουτζάκη. | τοῦ | Μαγίστρου. |

| Σίγνον | Πέτρου |
|---|---|
| τοῦ Που- | λλαχοῦ. |

† Κωνσταντῖνος ἱερεὺς ὁ Μυρσινιώτης, νομικὸς καὶ δευτερεύων τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου, τοῦ κάστρου Παλατίων, οἰκείᾳ χειρὶ ἔγραψα καὶ ὑπέγραψα. †

*Archetyp. membr. Flor. nro 99.*

## L. 6721—1213, mense martio, ind. I.

*Michael Cuneres et eius familia protovestiario Georgio Eunucho vendunt partem agri.*

| Σίγνον | Μιχαὴλ | Σίγνον | Ἄννης | Σίγνον | Κωνσταντίνου |
|---|---|---|---|---|---|
| τοῦ Κου- | νέρη. | τῆς συμβίου | αὐτοῦ. | τοῦ υἱοῦ | αὐτῶν. |

| Σίγνον | Βασιλείου |
|---|---|
| τοῦ ἑτέρου | αὐτῶν υἱοῦ. |

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Μιχαὴλ ὁ Κουνέρης σὺν τῇ συμβίῳ μου Ἄννῃ καὶ τῶν γνησίων μας παίδων τοῦ τε Κωνσταντίνου καὶ Βασιλείου, ἀμφότεροι τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς ἰδιοχείρως προτάξαντες, τὸ παρὸν πρατήριον ἡμῶν ἐνυπόγραφον ἔγγραφον τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως καὶ ἀμεταμελήτως μετὰ διασκέψεως πολυμεροῦς καὶ ἀποδοχῆς μεγίστης πρὸς σὲ τὸν μεγαλοδοξότατον πρωτοβεστιάριον κῦριν Γεώργιον

τὸν Εὐνοῦχον, διὰ σοῦ καὶ πρὸς τὸ ὑπὲρ σοῦ πρόσωπόν τε καὶ μέρος, καθὼς δηλωθήσεται. καὶ γὰρ τὸ ἐξαγορασίας μας κεκτήμεθα κομμάτιν χωράφιον ἀπὸ τῆς χώρας, τὸ ἀπὸ τῆς στάσεως τοῦ Καμακλῆ ἐκείνου Βασιλείου, τὸ ὂν καὶ διακείμενον ἐν τῇ περιοχῇ τοῦ Ἀχλαδοκοῦ τῆς μάνδρας, ὑπάρχον τῇ χωρήσει σπορέμων μοδίων ὀκτώ, ὅσον ἂν καὶ ἔν, εἰς ὑπέρπυρον ἕν· ἐν ᾧ καὶ ἐλάβομεν τοῦτο ἐκ τῶν χειρῶν σου σίτου μοδίους δύο, καὶ τέλος ἐκπληρώθη τὸ ὅλον τίμημα αὐτό, καὶ οὐκ ἔχομεν λόγον τινὰ κατὰ σοῦ ἢ τοῦ ὅλου μέρους σου, παρεδόθη δὲ τὸ τοιοῦτον κομμάτιν χωράφιον τὴν σήμερον σωματικῇ παραδόσει, τοῦ ἔχειν τοῦτο ἐπὶ τελείᾳ καὶ ἀναφαιρέτῳ δεσποτείᾳ κυρίως, αὐθεντῶς, ἰδικῶς τε καὶ μονομερῶς, ἀπερισπάστως καὶ ἀνεπικωλύτως, μὴ παρά τινος κωλυόμενος ἢ παρεμποδιζόμενος, οὐ παρ' ἡμῶν τῶν πεπρακότων σοι τὸ τοιοῦτον χωράφιον, οὐ παρ' ἑτέρου προσώπου τὸ σύνολον, ἀλλὰ μᾶλλον ἐκδικεῖν σοι ὀφείλομεν ἀπὸ παντὸς δικαστηρίου, τοῦ μὴ κινεῖν ὄχλην σοι ἢ ζήτησιν ἔχειν σοί ποτε τῷ καιρῷ, ἀλλ' ἔχειν τοῦτο εἰς ἐξῆς καὶ διηνεκεῖς χρόνους εἰς τὸ πωλεῖν, προικίζειν, χαρίζειν, λεγατεύειν, ἀνταλλάττειν καὶ ἄλλος, ὃς δόξῃ σοι, τοῦ ἔχειν αὐτό. ἔτι γοῦν συμφωνοῦμεν καὶ τοῦτο, ὡς ὅτι ὀψέ ποτε τῷ καιρῷ ἐπανακάμψει τις ἀφ' ἡμῶν καὶ λέγει ὑπὲρ τοῦ τοιούτου χωραφίου, ἡμεῖς μέλλομεν ἀποσοβεῖν τὸν τοιοῦτον· καὶ κατὰ τοῦτο ἀσφαλιζόμεθα, ὅστις τὰ πρὸς ἀνατροπὴν τῆς παρούσης πρατηρίου ἀσφαλοῦς ἐγγράφου πυρούμενος τάχα ἀποσπάσει ἀπὸ σοῦ μερικῶς ἢ καθόλου, τότε μὴ μόνον τὸν Χριστὸν καὶ θεὸν ἡμῶν ἕξει διάδικον, ἀλλὰ καὶ τὰς ἀρὰς τῶν τιη' ἁγίων θεοφόρων πατέρων κληρονομεῖ καὶ ἡ μερὶς αὐτοῦ ταχθείη μετὰ τοῦ ἀχαρίστου Ἰούδα, ἀλλὰ καὶ αὐτὸ τὸ ἓν ὑπέρπυρον, ὅπερ ἐλάβομεν ἀπὸ σοῦ, ἐπὶ τὸ διπλοῦν ἀντιστρέφομεν, καὶ πρὸς τὸν [δημόσιον] τὸ τρίτον τούτου. ἐπὶ τοῦτο γὰρ καὶ τὸ παρὸν πρατήριον ἔγγραφον πρὸς ἡμᾶς ἐξεθέμεθα τῇ ἡμῶν προτροπῇ διὰ χειρὸς Κωνσταντίνου ἱερέως τοῦ Μυρσινιώτου, νομικοῦ καὶ δευτερεύοντος τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου, τοῦ κάστρου Παλατίων, ἐνώπιον τῶν ὑπογραφάντων μαρτύρων. μηνὶ μαρτίῳ ἰνδικτιῶνος α' ἔτους ,ςψκα'. †

† Κησσιανὸς ἱερεὺς ὁ Εὐγένης καὶ πρωτοπαπᾶς τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου πάρειμι ἐπὶ τῇ παρούσῃ πράσει, μαρτυρῶν ὑπέγραψα. †

† Κωνσταντῖνος ἱερεὺς ὁ Γαβρὰς καὶ κληρικὸς τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου καὶ αὐτὸς μαρτυρῶν ὑπέγραψα. †

† Γεώργιος ἱερεὺς ὁ Λιδιάτης πάρειμι καὶ αὐτὸς μαρτυρῶν ὑπέγραψα. †



Ε.Χ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

† Κωνσταντῖνος ἱερεὺς ὁ Μυρσινιώτης νομικὸς καὶ δευτερεύων τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου οἰκεία χειρὶ ἔγραψα καὶ ὑπέγραψα. †

*Archetyp. membr. Flor. nro 98.*

## LI. 6721—1213, mense martio, ind I.

*Manuel Castrus, uxor et filii eius protovestiario Georgio Eunucho vendunt partem agri in regione Tropegorum.*

| Σίγνον | Μανουὴλ | Σίγνον | Ἄννης Κουλουκίνας |
|---|---|---|---|
| τοῦ Κάστρου | καὶ γαμβροῦ τοῦ Εὐγένη. | τῆς συμβίου | αὐτοῦ. |

| Σίγνον | Εὐδοκίας | Σίγνον | Νικολάου |
|---|---|---|---|
| τῆς θυ- | γατρὸς αὐτῶν. | τοῦ υἱοῦ | αὐτῶν. |

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Μανουὴλ ὁ υἱὸς ἐκείνου τοῦ ἀποβεβιωκότως Γεωργίου τοῦ Κάστρου καὶ γαμβρὸς Εὐγενικῆς τῆς τοῦ Βαρικαλήγη ἅμα τῇ συμβίῳ μου Ἄννῃ τῇ Κουλουκίνᾳ καὶ τῶν γνησίων μας παίδων, τῆς τε Εὐδοκίας καὶ Νικολάου, ἀμφότεροι τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς ἰδιοχείρως προτάξαντες, τὸ παρὸν πρατήριον ἡμῶν ἐνυπόγραφον ἔγγραφον τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως καὶ ἀμεταμελήτως μετὰ διασκέψεως πολυμεροῦς καὶ ἀποδοχῆς μεγίστης χωρὶς δόλου, τρόπου, πλάνης, ἀπάτης, δελεασμοῦ, νόμου καὶ φάκτου ἀγνοίας καὶ λοιπῶν αἰτίων τῶν τοῖς νόμοις ἀπηγορευμένων πρὸς σὲ τὸν μεγαλοδοξότατον πρωτοβεστιάριον κῦριν Γεώργιον τὸν Εὐνοῦχον καὶ πρὸς ἅπαν τὸ ἀπολυθὲν ἅπαν πρόσωπόν τε καὶ μέρος, καθὼς δηλωθήσεται. καὶ γὰρ τὸ ἐκ πενθερικῆς μου κλήρας κέκτημαι χωράφιον, τὸ ὂν καὶ διακείμενον ἐν τῇ περιοχῇ τῶν Τροπηγῶν, τὸ ἥμισι, ὅπερ καὶ διὰ συμφωνίας ἡμῶν ἔχομεν, τὸ δὲ ἕτερον ἥμισι κατέχεται παρὰ τοῦ ἐξαδέλφου μου, κυροῦ Νικήτα τοῦ Κουλίκη, καὶ πλησιαστὰς ἔχοντος τοὺς παῖδας τῆς Ἀρμενήσσας, ὑπάρχον τῇ χωρήσει μοδίων ἐννέα, ὅσον ἂν καὶ ἔλαχεν ἡμῖν χάριν μεριδίου, εἰς νομίσματα τρικέφαλα ἕξ, ἃ καὶ ἐλάβομεν ταῦτα ἐκ τῶν χειρῶν σου σῶα καὶ ἀνελλιπῆ, καὶ τελείως ἐκπληρωθὲν τὸ ὅλον τίμημα αὐτοῦ, καὶ οὐκ ἔχομεν λόγον τινὰ κατὰ σοῦ ἢ τοῦ ὅλου μέρους σου. παρεδόθη δὲ τὸ τοιοῦτον χωράφιον τῶν ἐννέα μοδίων τὴν σήμερον σωματικῇ παραδόσει, τοῦ ἔχειν τοῦτο καὶ νέμεσθαι κυρίως, αὐθεντῶς, ἰδικῶς τε καὶ μονομερῶς, ἀπερι-

σπάστως καὶ ἀνεπικωλύτως, μὴ παρά τινος κωλυόμενος ἢ παρεμποδιζόμενος τοῦ ἔχειν τοῦτο ἐπὶ τελείᾳ καὶ ἀναφαιρέτῳ δεσποτείᾳ εἰς τὸ πωλεῖν, προικίζειν, χαρίζειν, λεγατεύειν, ἀνταλλάττειν καὶ ἄλλως, ὡς δόξῃ σοι, τοῦ ἔχειν αὐτό. ἔτι γοῦν συμφωνοῦμεν καὶ τοῦτο, ὡς ὅτι ὀψέ ποτε τῷ καιρῷ ἐπανακάμψει τις ἀφ' ἡμῶν καὶ λέγει ὑπὲρ τοῦ τοιούτου χωραφίου τῆς λαχούσης ἡμῖν μερίδος, ἡμεῖς μέλλομεν ἀποσοβεῖν τὸν τοιοῦτον, ἀλλ' οὔτε παρ' ἡμῶν τῶν πεπρακότων σοι τὸ τοιοῦτον χωράφιον, ἀλλὰ μᾶλλον ἐκδικεῖν σοι ὀφείλομεν ἀπὸ παντὸς δικαστηρίου, τοῦ μὴ κινεῖν ὄχλησιν σοι ἢ ζήτησιν ἔχειν σοί ποτε τῷ καιρῷ· καὶ κατὰ τοῦτο ἀσφαλιζόμεθα, ὅστις ἄρα τὰ πρὸς ἀνατροπὴν χωριθῇ πυρούμενος τάχα ἀποσπάσαι ἀπὸ σοῦ μερικῶς ἢ καθόλου, τότε μὴ μόνον τὸν Χριστὸν καὶ θεὸν ἡμῶν ἕξομεν διάδικον, ἀλλὰ καὶ τὰς ἀρὰς τῶν τιη' ἁγίων θεοφόρων πατέρων κληρονομῶμεν, καὶ τὸ ἀνάθεμα καὶ ἡ μερὶς ἡμῶν ταχθείη μετὰ τοῦ ἀχαρίστου καὶ προδότου Ἰούδα. ἀλλὰ καὶ ταῦτα τὰ ἓξ νομίσματα, ἅπερ ἐλάβομεν ἀπὸ σοῦ, ἐπὶ τὸ διπλάσιον ἀντιστρέφομεν πρὸς σὲ καὶ τὸ ὅλον μέρος σου, καὶ πρὸς τὸν [δημόσιον] τὸ τρίτον τούτων. ἐπὶ τοῦτο γὰρ καὶ τὸ παρὸν πρατήριον ἔγγραφον πρὸς σὲ πεποιήκαμεν τῇ ἡμῶν προτροπῇ χειρὶ Κωνσταντίνου ἱερέως τοῦ Μυρσινιώτη, νομικοῦ καὶ δευτερεύοντος τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου, τοῦ κάστρου Παλατίων, ἐνώπιον τῶν ὑπογραψάντων μαρτύρων. μηνὶ μαρτίῳ ἰνδικτιῶνος α' ἔτους ,ςψκα'. †

† Κηοσιανὸς ἱερεὺς ὁ Εὐγένης καὶ πρωτοπαπᾶς τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου πάρειμι ἐπὶ τὸ παρὸν ἔγγραφον, ὑπέγραψα. †

† Κωνσταντῖνος ἱερεὺς ὁ Καραντινὸς μαρτυρῶν καὶ αὐτὸς ὑπέγραψα. †

† Πέτρος ὁ Δεμονίτζης καὶ αὐτὸς μαρτυρῶν ὑπέγραψα. †

† Νικήτας ὁ Τζαμαύχης πάρειμι καὶ αὐτὸς ἐπὶ τὸ παρὸν πρατήριον ἔγγραφον μαρτυρῶν ὑπέγραψα. †

† Κωνσταντῖνος ἱερεὺς ὁ Μυρσινιώτης, νομικὸς καὶ δευτερεύων τῆς ἁγιωτάτης μητροπόλεως Μιλήτου, κάστρου Παλατίων, οἰκείᾳ χειρὶ ἔγραψα καὶ ὑπέγραψα. †

*Archetyp. membr. Flor. nro 98.*

## LII. Sine anno, mense februario, ind. II.

***Imperator a vectigalibus eximit naviculas monasterii appellentes ad portus Orientis.***

[† Ἡ βασιλεία μου] τὴν δεξιὰν ἐκτείνουσα ταύτης καὶ εἰς τὴν ἐν τῇ νήσῳ τῇ Πάτμου ἱδρυμένην σεβασμίαν μονὴν ἐπ' ὀνόματι τοῦ ἁγίου Ἰωάννου τοῦ